# ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Β´

1 παυλοσ αποστολοσ ιησου χριστου δια θεληματοσ θεου
και τιμοθεοσ ο αδελφοσ τη εκκλησια του θεου τη ουση εν
κορινθω συν τοισ αγιοισ πασιν τοισ ουσιν εν ολη τη αχαια
2 χαρισ υμιν και ειρηνη απο θεου πατροσ ημων και
κυριου ιησου χριστου
3 ευλογητοσ ο θεοσ και πατηρ του κυριου ημων
ιησου χριστου ο πατηρ των οικτιρμων και θεοσ πασησ
παρακλησεωσ
4 ο παρακαλων ημασ επι παση τη θλιψει ημων εισ το
δυνασθαι ημασ παρακαλειν τουσ εν παση θλιψει δια τησ
παρακλησεωσ ησ παρακαλουμεθα αυτοι υπο του θεου
5 οτι καθωσ περισσευει τα παθηματα του χριστου εισ
ημασ ουτωσ δια του χριστου περισσευει και η παρακλησισ
ημων
6 ειτε δε θλιβομεθα υπερ τησ υμων παρακλησεωσ και
σωτηριασ τησ ενεργουμενησ εν υπομονη των αυτων
παθηματων ων και ημεισ πασχομεν και η ελπισ ημων
βεβαια υπερ υμων ειτε παρακαλουμεθα υπερ τησ υμων
παρακλησεωσ και σωτηριασ
7 ειδοτεσ οτι ωσπερ κοινωνοι εστε των παθηματων
ουτωσ και τησ παρακλησεωσ
8 ου γαρ θελομεν υμασ αγνοειν αδελφοι υπερ τησ
θλιψεωσ ημων τησ γενομενησ ημιν εν τη ασια οτι καθ
υπερβολην εβαρηθημεν υπερ δυναμιν ωστε εξαπορηθηναι
ημασ και του ζην
9 αλλα αυτοι εν εαυτοισ το αποκριμα του θανατου
εσχηκαμεν ινα μη πεποιθοτεσ ωμεν εφ εαυτοισ αλλ επι τω
θεω τω εγειροντι τουσ νεκρουσ
10 οσ εκ τηλικουτου θανατου ερρυσατο ημασ και ρυεται
εισ ον ηλπικαμεν οτι και ετι ρυσεται

11 συνυπουργουντων και υμων υπερ ημων τη δεησει
ινα εκ πολλων προσωπων το εισ ημασ χαρισμα δια
πολλων ευχαριστηθη υπερ υμων
12 η γαρ καυχησισ ημων αυτη εστιν το μαρτυριον τησ
συνειδησεωσ ημων οτι εν απλοτητι και ειλικρινεια θεου
ουκ εν σοφια σαρκικη αλλ εν χαριτι θεου ανεστραφημεν
εν τω κοσμω περισσοτερωσ δε προσ υμασ
13 ου γαρ αλλα γραφομεν υμιν αλλ η α αναγινωσκετε
η και επιγινωσκετε ελπιζω δε οτι και εωσ τελουσ
επιγνωσεσθε
14 καθωσ και επεγνωτε ημασ απο μερουσ οτι καυχημα
υμων εσμεν καθαπερ και υμεισ ημων εν τη ημερα του
κυριου ιησου
15 και ταυτη τη πεποιθησει εβουλομην ελθειν προσ
υμασ το προτερον ινα δευτεραν χαριν εχητε
16 και δι υμων διελθειν εισ μακεδονιαν και παλιν απο
μακεδονιασ ελθειν προσ υμασ και υφ υμων προπεμφθηναι
εισ την ιουδαιαν
17 τουτο ουν βουλευομενοσ μητι αρα τη ελαφρια
εχρησαμην η α βουλευομαι κατα σαρκα βουλευομαι ινα
η παρ εμοι το ναι ναι και το ου ου
18 πιστοσ δε ο θεοσ οτι ο λογοσ ημων ο προσ υμασ ουκ
εγενετο ναι και ου
19 ο γαρ του θεου υιοσ ιησουσ χριστοσ ο εν υμιν δι
ημων κηρυχθεισ δι εμου και σιλουανου και τιμοθεου ουκ
εγενετο ναι και ου αλλα ναι εν αυτω γεγονεν
20 οσαι γαρ επαγγελιαι θεου εν αυτω το ναι και εν αυτω
το αμην τω θεω προσ δοξαν δι ημων
21 ο δε βεβαιων ημασ συν υμιν εισ χριστον και χρισασ
ημασ θεοσ
22 ο και σφραγισαμενοσ ημασ και δουσ τον αρραβωνα
του πνευματοσ εν ταισ καρδιαισ ημων
23 εγω δε μαρτυρα τον θεον επικαλουμαι επι την εμην

ψυχην οτι φειδομενοσ υμων ουκετι ηλθον εισ κορινθον
24 ουχ οτι κυριευομεν υμων τησ πιστεωσ αλλα συνεργοι
εσμεν τησ χαρασ υμων τη γαρ πιστει εστηκατε

# 2

1 εκρινα δε εμαυτω τουτο το μη παλιν εν λυπη προσ
υμασ ελθειν
2 ει γαρ εγω λυπω υμασ και τισ εστιν ο ευφραινων με ει
μη ο λυπουμενοσ εξ εμου
3 και εγραψα υμιν τουτο αυτο ινα μη ελθων λυπην εχω
αφ ων εδει με χαιρειν πεποιθωσ επι παντασ υμασ οτι η εμη
χαρα παντων υμων εστιν
4 εκ γαρ πολλησ θλιψεωσ και συνοχησ καρδιασ εγραψα
υμιν δια πολλων δακρυων ουχ ινα λυπηθητε αλλα την
αγαπην ινα γνωτε ην εχω περισσοτερωσ εισ υμασ
5 ει δε τισ λελυπηκεν ουκ εμε λελυπηκεν αλλα απο
μερουσ ινα μη επιβαρω παντασ υμασ
6 ικανον τω τοιουτω η επιτιμια αυτη η υπο των
πλειονων
7 ωστε τουναντιον μαλλον υμασ χαρισασθαι και
παρακαλεσαι μηπωσ τη περισσοτερα λυπη καταποθη
ο τοιουτοσ
8 διο παρακαλω υμασ κυρωσαι εισ αυτον αγαπην
9 εισ τουτο γαρ και εγραψα ινα γνω την δοκιμην υμων
ει εισ παντα υπηκοοι εστε
10 ω δε τι χαριζεσθε και εγω και γαρ εγω ει τι κεχαρισμαι
ω κεχαρισμαι δι υμασ εν προσωπω χριστου
11 ινα μη πλεονεκτηθωμεν υπο του σατανα ου γαρ
αυτου τα νοηματα αγνοουμεν
12 ελθων δε εισ την τρωαδα εισ το ευαγγελιον του
χριστου και θυρασ μοι ανεωγμενησ εν κυριω
13 ουκ εσχηκα ανεσιν τω πνευματι μου τω μη ευρειν
με τιτον τον αδελφον μου αλλα αποταξαμενοσ αυτοισ
εξηλθον εισ μακεδονιαν

14 τω δε θεω χαρισ τω παντοτε θριαμβευοντι ημασ εν τω
χριστω και την οσμην τησ γνωσεωσ αυτου φανερουντι δι
ημων εν παντι τοπω
15 οτι χριστου ευωδια εσμεν τω θεω εν τοισ σωζομενοισ
και εν τοισ απολλυμενοισ
16 οισ μεν οσμη θανατου εισ θανατον οισ δε οσμη ζωησ
εισ ζωην και προσ ταυτα τισ ικανοσ
17 ου γαρ εσμεν ωσ οι λοιποι καπηλευοντεσ τον
λογον του θεου αλλ ωσ εξ ειλικρινειασ αλλ ωσ εκ θεου
κατενωπιον του θεου εν χριστω λαλουμεν

# 3

1 αρχομεθα παλιν εαυτουσ συνιστανειν ει μη χρηζομεν
ωσ τινεσ συστατικων επιστολων προσ υμασ η εξ υμων
συστατικων
2 η επιστολη ημων υμεισ εστε εγγεγραμμενη εν ταισ
καρδιαισ ημων γινωσκομενη και αναγινωσκομενη υπο
παντων ανθρωπων
3 φανερουμενοι οτι εστε επιστολη χριστου
διακονηθεισα υφ ημων εγγεγραμμενη ου μελανι αλλα
πνευματι θεου ζωντοσ ουκ εν πλαξιν λιθιναισ αλλ εν
πλαξιν καρδιαισ σαρκιναισ
4 πεποιθησιν δε τοιαυτην εχομεν δια του χριστου προσ
τον θεον
5 ουχ οτι ικανοι εσμεν αφ εαυτων λογισασθαι τι ωσ εξ
εαυτων αλλ η ικανοτησ ημων εκ του θεου
6 οσ και ικανωσεν ημασ διακονουσ καινησ διαθηκησ ου
γραμματοσ αλλα πνευματοσ το γαρ γραμμα αποκτενει το
δε πνευμα ζωοποιει
7 ει δε η διακονια του θανατου εν γραμμασιν
εντετυπωμενη εν λιθοισ εγενηθη εν δοξη ωστε μη
δυνασθαι ατενισαι τουσ υιουσ ισραηλ εισ το προσωπον
μωυσεωσ δια την δοξαν του προσωπου αυτου την
καταργουμενην

8 πωσ ουχι μαλλον η διακονια του πνευματοσ εσται εν
δοξη
9 ει γαρ η διακονια τησ κατακρισεωσ δοξα πολλω
μαλλον περισσευει η διακονια τησ δικαιοσυνησ εν δοξη
10 και γαρ ου δεδοξασται το δεδοξασμενον εν τουτω τω
μερει ενεκεν τησ υπερβαλλουσησ δοξησ
11 ει γαρ το καταργουμενον δια δοξησ πολλω μαλλον το
μενον εν δοξη
12 εχοντεσ ουν τοιαυτην ελπιδα πολλη παρρησια
χρωμεθα
13 και ου καθαπερ μωυσησ ετιθει καλυμμα επι το
προσωπον εαυτου προσ το μη ατενισαι τουσ υιουσ ισραηλ
εισ το τελοσ του καταργουμενου
14 αλλ επωρωθη τα νοηματα αυτων αχρι γαρ τησ
σημερον το αυτο καλυμμα επι τη αναγνωσει τησ παλαιασ
διαθηκησ μενει μη ανακαλυπτομενον ο τι εν χριστω
καταργειται
15 αλλ εωσ σημερον ηνικα αναγινωσκεται μωυσησ
καλυμμα επι την καρδιαν αυτων κειται
16 ηνικα δ αν επιστρεψη προσ κυριον περιαιρειται το
καλυμμα
17 ο δε κυριοσ το πνευμα εστιν ου δε το πνευμα κυριου
εκει ελευθερια
18 ημεισ δε παντεσ ανακεκαλυμμενω προσωπω
την δοξαν κυριου κατοπτριζομενοι την αυτην εικονα
μεταμορφουμεθα απο δοξησ εισ δοξαν καθαπερ απο
κυριου πνευματοσ

# 4

1 δια τουτο εχοντεσ την διακονιαν ταυτην καθωσ
ηλεηθημεν ουκ εκκακουμεν
2 αλλα απειπαμεθα τα κρυπτα τησ αισχυνησ μη
περιπατουντεσ εν πανουργια μηδε δολουντεσ τον λογον

του θεου αλλα τη φανερωσει τησ αληθειασ συνιστωντεσ
εαυτουσ προσ πασαν συνειδησιν ανθρωπων ενωπιον του
θεου
3 ει δε και εστιν κεκαλυμμενον το ευαγγελιον ημων εν
τοισ απολλυμενοισ εστιν κεκαλυμμενον
4 εν οισ ο θεοσ του αιωνοσ τουτου ετυφλωσεν τα
νοηματα των απιστων εισ το μη αυγασαι αυτοισ τον
φωτισμον του ευαγγελιου τησ δοξησ του χριστου οσ εστιν
εικων του θεου
5 ου γαρ εαυτουσ κηρυσσομεν αλλα χριστον ιησουν
κυριον εαυτουσ δε δουλουσ υμων δια ιησουν
6 οτι ο θεοσ ο ειπων εκ σκοτουσ φωσ λαμψαι οσ
ελαμψεν εν ταισ καρδιαισ ημων προσ φωτισμον τησ
γνωσεωσ τησ δοξησ του θεου εν προσωπω ιησου χριστου
7 εχομεν δε τον θησαυρον τουτον εν οστρακινοισ
σκευεσιν ινα η υπερβολη τησ δυναμεωσ η του θεου και μη
εξ ημων
8 εν παντι θλιβομενοι αλλ ου στενοχωρουμενοι
απορουμενοι αλλ ουκ εξαπορουμενοι
9 διωκομενοι αλλ ουκ εγκαταλειπομενοι
καταβαλλομενοι αλλ ουκ απολλυμενοι
10 παντοτε την νεκρωσιν του κυριου ιησου εν τω
σωματι περιφεροντεσ ινα και η ζωη του ιησου εν τω
σωματι ημων φανερωθη
11 αει γαρ ημεισ οι ζωντεσ εισ θανατον παραδιδομεθα
δια ιησουν ινα και η ζωη του ιησου φανερωθη εν τη θνητη
σαρκι ημων
12 ωστε ο μεν θανατοσ εν ημιν ενεργειται η δε ζωη εν
υμιν
13 εχοντεσ δε το αυτο πνευμα τησ πιστεωσ κατα
το γεγραμμενον επιστευσα διο ελαλησα και ημεισ
πιστευομεν διο και λαλουμεν
14 ειδοτεσ οτι ο εγειρασ τον κυριον ιησουν και ημασ δια

ιησου εγερει και παραστησει συν υμιν
15 τα γαρ παντα δι υμας ινα η χαρις πλεονασασα δια των
πλειονων την ευχαριστιαν περισσευση εις την δοξαν του
θεου
16 διο ουκ εκκακουμεν αλλ ει και ο εξω ημων ανθρωπος
διαφθειρεται αλλ ο εσωθεν ανακαινουται ημερα και
ημερα
17 το γαρ παραυτικα ελαφρον της θλιψεως ημων
καθ υπερβολην εις υπερβολην αιωνιον βαρος δοξης
κατεργαζεται ημιν
18 μη σκοπουντων ημων τα βλεπομενα αλλα τα
μη βλεπομενα τα γαρ βλεπομενα προσκαιρα τα δε μη
βλεπομενα αιωνια

# 5

1 οιδαμεν γαρ οτι εαν η επιγειος ημων οικια του
σκηνους καταλυθη οικοδομην εκ θεου εχομεν οικιαν
αχειροποιητον αιωνιον εν τοις ουρανοις
2 και γαρ εν τουτω στεναζομεν το οικητηριον ημων το
εξ ουρανου επενδυσασθαι επιποθουντες
3 ειγε και ενδυσαμενοι ου γυμνοι ευρεθησομεθα
4 και γαρ οι οντες εν τω σκηνει στεναζομεν βαρουμενοι
εφ ω ου θελομεν εκδυσασθαι αλλ επενδυσασθαι ινα
καταποθη το θνητον υπο της ζωης
5 ο δε κατεργασαμενος ημας εις αυτο τουτο θεος ο και
δους ημιν τον αρραβωνα του πνευματος
6 θαρρουντες ουν παντοτε και ειδοτες οτι ενδημουντες
εν τω σωματι εκδημουμεν απο του κυριου
7 δια πιστεως γαρ περιπατουμεν ου δια ειδους
8 θαρρουμεν δε και ευδοκουμεν μαλλον εκδημησαι εκ
του σωματος και ενδημησαι προς τον κυριον
9 διο και φιλοτιμουμεθα ειτε ενδημουντες ειτε
εκδημουντες ευαρεστοι αυτω ειναι

10 τουσ γαρ παντασ ημασ φανερωθηναι δει εμπροσθεν
του βηματοσ του χριστου ινα κομισηται εκαστοσ τα δια του
σωματοσ προσ α επραξεν ειτε αγαθον ειτε κακον
11 ειδοτεσ ουν τον φοβον του κυριου ανθρωπουσ
πειθομεν θεω δε πεφανερωμεθα ελπιζω δε και εν ταισ
συνειδησεσιν υμων πεφανερωσθαι
12 ου γαρ παλιν εαυτουσ συνιστανομεν υμιν αλλα
αφορμην διδοντεσ υμιν καυχηματοσ υπερ ημων ινα εχητε
προσ τουσ εν προσωπω καυχωμενουσ και ου καρδια
13 ειτε γαρ εξεστημεν θεω ειτε σωφρονουμεν υμιν
14 η γαρ αγαπη του χριστου συνεχει ημασ κριναντασ
τουτο οτι ει εισ υπερ παντων απεθανεν αρα οι παντεσ
απεθανον
15 και υπερ παντων απεθανεν ινα οι ζωντεσ μηκετι
εαυτοισ ζωσιν αλλα τω υπερ αυτων αποθανοντι και
εγερθεντι
16 ωστε ημεισ απο του νυν ουδενα οιδαμεν κατα σαρκα
ει δε και εγνωκαμεν κατα σαρκα χριστον αλλα νυν ουκετι
γινωσκομεν
17 ωστε ει τισ εν χριστω καινη κτισισ τα αρχαια
παρηλθεν ιδου γεγονεν καινα τα παντα
18 τα δε παντα εκ του θεου του καταλλαξαντοσ ημασ
εαυτω δια ιησου χριστου και δοντοσ ημιν την διακονιαν
τησ καταλλαγησ
19 ωσ οτι θεοσ ην εν χριστω κοσμον καταλλασσων
εαυτω μη λογιζομενοσ αυτοισ τα παραπτωματα αυτων και
θεμενοσ εν ημιν τον λογον τησ καταλλαγησ
20 υπερ χριστου ουν πρεσβευομεν ωσ του θεου
παρακαλουντοσ δι ημων δεομεθα υπερ χριστου
καταλλαγητε τω θεω
21 τον γαρ μη γνοντα αμαρτιαν υπερ ημων αμαρτιαν
εποιησεν ινα ημεισ γενωμεθα δικαιοσυνη θεου εν αυτω

# 6

1 συνεργουντεσ δε και παρακαλουμεν μη εισ κενον την
χαριν του θεου δεξασθαι υμασ
2 λεγει γαρ καιρω δεκτω επηκουσα σου και εν ημερα
σωτηριασ εβοηθησα σοι ιδου νυν καιροσ ευπροσδεκτοσ
ιδου νυν ημερα σωτηριασ
3 μηδεμιαν εν μηδενι διδοντεσ προσκοπην ινα μη
μωμηθη η διακονια
4 αλλ εν παντι συνιστωντεσ εαυτουσ ωσ θεου
διακονοι εν υπομονη πολλη εν θλιψεσιν εν αναγκαισ
εν στενοχωριαισ
5 εν πληγαισ εν φυλακαισ εν ακαταστασιαισ εν κοποισ
εν αγρυπνιαισ εν νηστειαισ
6 εν αγνοτητι εν γνωσει εν μακροθυμια εν χρηστοτητι
εν πνευματι αγιω εν αγαπη ανυποκριτω
7 εν λογω αληθειασ εν δυναμει θεου δια των οπλων τησ
δικαιοσυνησ των δεξιων και αριστερων
8 δια δοξησ και ατιμιασ δια δυσφημιασ και ευφημιασ ωσ
πλανοι και αληθεισ
9 ωσ αγνοουμενοι και επιγινωσκομενοι ωσ
αποθνησκοντεσ και ιδου ζωμεν ωσ παιδευομενοι και
μη θανατουμενοι
10 ωσ λυπουμενοι αει δε χαιροντεσ ωσ πτωχοι πολλουσ
δε πλουτιζοντεσ ωσ μηδεν εχοντεσ και παντα κατεχοντεσ
11 το στομα ημων ανεωγεν προσ υμασ κορινθιοι η
καρδια ημων πεπλατυνται
12 ου στενοχωρεισθε εν ημιν στενοχωρεισθε δε εν τοισ
σπλαγχνοισ υμων
13 την δε αυτην αντιμισθιαν ωσ τεκνοισ λεγω
πλατυνθητε και υμεισ
14 μη γινεσθε ετεροζυγουντεσ απιστοισ τισ γαρ μετοχη
δικαιοσυνη και ανομια τισ δε κοινωνια φωτι προσ σκοτοσ

15 τισ δε συμφωνησισ χριστω προσ βελιαρ η τισ μερισ
πιστω μετα απιστου
16 τισ δε συγκαταθεσισ ναω θεου μετα ειδωλων υμεισ
γαρ ναοσ θεου εστε ζωντοσ καθωσ ειπεν ο θεοσ οτι
ενοικησω εν αυτοισ και εμπεριπατησω και εσομαι αυτων
θεοσ και αυτοι εσονται μοι λαοσ
17 διο εξελθετε εκ μεσου αυτων και αφορισθητε λεγει
κυριοσ και ακαθαρτου μη απτεσθε καγω εισδεξομαι υμασ
18 και εσομαι υμιν εισ πατερα και υμεισ εσεσθε μοι εισ
υιουσ και θυγατερασ λεγει κυριοσ παντοκρατωρ

# 7

1 ταυτασ ουν εχοντεσ τασ επαγγελιασ αγαπητοι
καθαρισωμεν εαυτουσ απο παντοσ μολυσμου σαρκοσ
και πνευματοσ επιτελουντεσ αγιωσυνην εν φοβω θεου
2 χωρησατε ημασ ουδενα ηδικησαμεν ουδενα
εφθειραμεν ουδενα επλεονεκτησαμεν
3 ου προσ κατακρισιν λεγω προειρηκα γαρ οτι εν ταισ
καρδιαισ ημων εστε εισ το συναποθανειν και συζην
4 πολλη μοι παρρησια προσ υμασ πολλη μοι καυχησισ
υπερ υμων πεπληρωμαι τη παρακλησει υπερπερισσευομαι
τη χαρα επι παση τη θλιψει ημων
5 και γαρ ελθοντων ημων εισ μακεδονιαν ουδεμιαν
εσχηκεν ανεσιν η σαρξ ημων αλλ εν παντι θλιβομενοι
εξωθεν μαχαι εσωθεν φοβοι
6 αλλ ο παρακαλων τουσ ταπεινουσ παρεκαλεσεν ημασ
ο θεοσ εν τη παρουσια τιτου
7 ου μονον δε εν τη παρουσια αυτου αλλα και εν τη
παρακλησει η παρεκληθη εφ υμιν αναγγελλων ημιν την
υμων επιποθησιν τον υμων οδυρμον τον υμων ζηλον υπερ
εμου ωστε με μαλλον χαρηναι

8 οτι ει και ελυπησα υμασ εν τη επιστολη ου
μεταμελομαι ει και μετεμελομην βλεπω γαρ οτι η
επιστολη εκεινη ει και προσ ωραν ελυπησεν υμασ
9 νυν χαιρω ουχ οτι ελυπηθητε αλλ οτι ελυπηθητε
εισ μετανοιαν ελυπηθητε γαρ κατα θεον ινα εν μηδενι
ζημιωθητε εξ ημων
10 η γαρ κατα θεον λυπη μετανοιαν εισ σωτηριαν
αμεταμελητον κατεργαζεται η δε του κοσμου λυπη
θανατον κατεργαζεται
11 ιδου γαρ αυτο τουτο το κατα θεον λυπηθηναι υμασ
ποσην κατειργασατο υμιν σπουδην αλλα απολογιαν αλλα
αγανακτησιν αλλα φοβον αλλα επιποθησιν αλλα ζηλον
αλλα εκδικησιν εν παντι συνεστησατε εαυτουσ αγνουσ
ειναι εν τω πραγματι
12 αρα ει και εγραψα υμιν ουχ εινεκεν του αδικησαντοσ
ουδε εινεκεν του αδικηθεντοσ αλλ εινεκεν του
φανερωθηναι την σπουδην υμων την υπερ ημων προσ
υμασ ενωπιον του θεου
13 δια τουτο παρακεκλημεθα επι δε τη παρακλησει
υμων περισσοτερωσ μαλλον εχαρημεν επι τη χαρα τιτου
οτι αναπεπαυται το πνευμα αυτου απο παντων υμων
14 οτι ει τι αυτω υπερ υμων κεκαυχημαι ου
κατησχυνθην αλλ ωσ παντα εν αληθεια ελαλησαμεν
υμιν ουτωσ και η καυχησισ ημων η επι τιτου αληθεια
εγενηθη
15 και τα σπλαγχνα αυτου περισσοτερωσ εισ υμασ εστιν
αναμιμνησκομενου την παντων υμων υπακοην ωσ μετα
φοβου και τρομου εδεξασθε αυτον
16 χαιρω οτι εν παντι θαρρω εν υμιν

# 8

1 γνωριζομεν δε υμιν αδελφοι την χαριν του θεου την
δεδομενην εν ταισ εκκλησιαισ τησ μακεδονιασ

2 οτι εν πολλη δοκιμη θλιψεως η περισσεια της χαρας
αυτων και η κατα βαθους πτωχεια αυτων επερισσευσεν
εις τον πλουτον της απλοτητος αυτων
3 οτι κατα δυναμιν μαρτυρω και υπερ δυναμιν
αυθαιρετοι
4 μετα πολλης παρακλησεως δεομενοι ημων την χαριν
και την κοινωνιαν της διακονιας της εις τους αγιους
5 και ου καθως ηλπισαμεν αλλ εαυτους εδωκαν πρωτον
τω κυριω και ημιν δια θεληματος θεου
6 εις το παρακαλεσαι ημας τιτον ινα καθως
προενηρξατο ουτως και επιτελεση εις υμας και την
χαριν ταυτην
7 αλλ ωσπερ εν παντι περισσευετε πιστει και λογω και
γνωσει και παση σπουδη και τη εξ υμων εν ημιν αγαπη ινα
και εν ταυτη τη χαριτι περισσευητε
8 ου κατ επιταγην λεγω αλλα δια της ετερων σπουδης
και το της υμετερας αγαπης γνησιον δοκιμαζων
9 γινωσκετε γαρ την χαριν του κυριου ημων ιησου
χριστου οτι δι υμας επτωχευσεν πλουσιος ων ινα υμεις τη
εκεινου πτωχεια πλουτησητε
10 και γνωμην εν τουτω διδωμι τουτο γαρ υμιν
συμφερει οιτινες ου μονον το ποιησαι αλλα και το θελειν
προενηρξασθε απο περυσι
11 νυνι δε και το ποιησαι επιτελεσατε οπως καθαπερ η
προθυμια του θελειν ουτως και το επιτελεσαι εκ του εχειν
12 ει γαρ η προθυμια προκειται καθο εαν εχη τις
ευπροσδεκτος ου καθο ουκ εχει
13 ου γαρ ινα αλλοις ανεσις υμιν δε θλιψις αλλ εξ
ισοτητος εν τω νυν καιρω το υμων περισσευμα εις το
εκεινων υστερημα
14 ινα και το εκεινων περισσευμα γενηται εις το υμων
υστερημα οπως γενηται ισοτης
15 καθως γεγραπται ο το πολυ ουκ επλεονασεν και ο το

ολιγον ουκ ηλαττονησεν
16 χαρισ δε τω θεω τω διδοντι την αυτην σπουδην υπερ
υμων εν τη καρδια τιτου
17 οτι την μεν παρακλησιν εδεξατο σπουδαιοτεροσ δε
υπαρχων αυθαιρετοσ εξηλθεν προσ υμασ
18 συνεπεμψαμεν δε μετ αυτου τον αδελφον ου ο
επαινοσ εν τω ευαγγελιω δια πασων των εκκλησιων
19 ου μονον δε αλλα και χειροτονηθεισ υπο των
εκκλησιων συνεκδημοσ ημων συν τη χαριτι ταυτη τη
διακονουμενη υφ ημων προσ την αυτου του κυριου δοξαν
και προθυμιαν ημων
20 στελλομενοι τουτο μη τισ ημασ μωμησηται εν τη
αδροτητι ταυτη τη διακονουμενη υφ ημων
21 προνοουμενοι καλα ου μονον ενωπιον κυριου αλλα
και ενωπιον ανθρωπων
22 συνεπεμψαμεν δε αυτοισ τον αδελφον ημων ον
εδοκιμασαμεν εν πολλοισ πολλακισ σπουδαιον οντα νυνι
δε πολυ σπουδαιοτερον πεποιθησει πολλη τη εισ υμασ
23 ειτε υπερ τιτου κοινωνοσ εμοσ και εισ υμασ συνεργοσ
ειτε αδελφοι ημων αποστολοι εκκλησιων δοξα χριστου
24 την ουν ενδειξιν τησ αγαπησ υμων και ημων
καυχησεωσ υπερ υμων εισ αυτουσ ενδειξασθε εισ
προσωπον των εκκλησιων

# 9

1 περι μεν γαρ τησ διακονιασ τησ εισ τουσ αγιουσ
περισσον μοι εστιν το γραφειν υμιν
2 οιδα γαρ την προθυμιαν υμων ην υπερ υμων
καυχωμαι μακεδοσιν οτι αχαια παρεσκευασται απο περυσι
και ο εξ υμων ζηλοσ ηρεθισεν τουσ πλειονασ
3 επεμψα δε τουσ αδελφουσ ινα μη το καυχημα ημων το
υπερ υμων κενωθη εν τω μερει τουτω ινα καθωσ ελεγον
παρεσκευασμενοι ητε

4 μηπως εαν ελθωσιν συν εμοι μακεδονες και ευρωσιν υμας απαρασκευαστους καταισχυνθωμεν ημεις ινα μη λεγωμεν υμεις εν τη υποστασει ταυτη της καυχησεως

5 αναγκαιον ουν ηγησαμην παρακαλεσαι τους αδελφους ινα προελθωσιν εις υμας και προκαταρτισωσιν την προκατηγγελμενην ευλογιαν υμων ταυτην ετοιμην ειναι ουτως ως ευλογιαν και μη ως πλεονεξιαν

6 τουτο δε ο σπειρων φειδομενως φειδομενως και θερισει και ο σπειρων επ ευλογιαις επ ευλογιαις και θερισει

7 εκαστος καθως προαιρειται τη καρδια μη εκ λυπης η εξ αναγκης ιλαρον γαρ δοτην αγαπα ο θεος

8 δυνατος δε ο θεος πασαν χαριν περισσευσαι εις υμας ινα εν παντι παντοτε πασαν αυταρκειαν εχοντες περισσευητε εις παν εργον αγαθον

9 καθως γεγραπται εσκορπισεν εδωκεν τοις πενησιν η δικαιοσυνη αυτου μενει εις τον αιωνα

10 ο δε επιχορηγων σπερμα τω σπειροντι και αρτον εις βρωσιν χορηγησαι και πληθυναι τον σπορον υμων και αυξησαι τα γενηματα της δικαιοσυνης υμων

11 εν παντι πλουτιζομενοι εις πασαν απλοτητα ητις κατεργαζεται δι ημων ευχαριστιαν τω θεω

12 οτι η διακονια της λειτουργιας ταυτης ου μονον εστιν προσαναπληρουσα τα υστερηματα των αγιων αλλα και περισσευουσα δια πολλων ευχαριστιων τω θεω

13 δια της δοκιμης της διακονιας ταυτης δοξαζοντες τον θεον επι τη υποταγη της ομολογιας υμων εις το ευαγγελιον του χριστου και απλοτητι της κοινωνιας εις αυτους και εις παντας

14 και αυτων δεησει υπερ υμων επιποθουντων υμας δια την υπερβαλλουσαν χαριν του θεου εφ υμιν

15 χαρις δε τω θεω επι τη ανεκδιηγητω αυτου δωρεα

# 10

1 αυτοσ δε εγω παυλοσ παρακαλω υμασ δια τησ
πραοτητοσ και επιεικειασ του χριστου οσ κατα προσωπον
μεν ταπεινοσ εν υμιν απων δε θαρρω εισ υμασ
2 δεομαι δε το μη παρων θαρρησαι τη πεποιθησει η
λογιζομαι τολμησαι επι τινασ τουσ λογιζομενουσ ημασ ωσ
κατα σαρκα περιπατουντασ
3 εν σαρκι γαρ περιπατουντεσ ου κατα σαρκα
στρατευομεθα
4 τα γαρ οπλα τησ στρατειασ ημων ου σαρκικα αλλα
δυνατα τω θεω προσ καθαιρεσιν οχυρωματων
5 λογισμουσ καθαιρουντεσ και παν υψωμα
επαιρομενον κατα τησ γνωσεωσ του θεου και
αιχμαλωτιζοντεσ παν νοημα εισ την υπακοην του χριστου
6 και εν ετοιμω εχοντεσ εκδικησαι πασαν παρακοην
οταν πληρωθη υμων η υπακοη
7 τα κατα προσωπον βλεπετε ει τισ πεποιθεν εαυτω
χριστου ειναι τουτο λογιζεσθω παλιν αφ εαυτου οτι
καθωσ αυτοσ χριστου ουτωσ και ημεισ χριστου
8 εαν τε γαρ και περισσοτερον τι καυχησωμαι περι τησ
εξουσιασ ημων ησ εδωκεν ο κυριοσ ημιν εισ οικοδομην
και ουκ εισ καθαιρεσιν υμων ουκ αισχυνθησομαι
9 ινα μη δοξω ωσ αν εκφοβειν υμασ δια των επιστολων
10 οτι αι μεν επιστολαι φησιν βαρειαι και ισχυραι
η δε παρουσια του σωματοσ ασθενησ και ο λογοσ
εξουθενημενοσ
11 τουτο λογιζεσθω ο τοιουτοσ οτι οιοι εσμεν τω λογω
δι επιστολων αποντεσ τοιουτοι και παροντεσ τω εργω
12 ου γαρ τολμωμεν εγκριναι η συγκριναι εαυτουσ
τισιν των εαυτουσ συνιστανοντων αλλα αυτοι εν εαυτοισ
εαυτουσ μετρουντεσ και συγκρινοντεσ εαυτουσ εαυτοισ
ου συνιουσιν
13 ημεισ δε ουχι εισ τα αμετρα καυχησομεθα αλλα κατα
το μετρον του κανονοσ ου εμερισεν ημιν ο θεοσ μετρου

εφικεσθαι αχρι και υμων
14 ου γαρ ως μη εφικνουμενοι εις υμας υπερεκτεινομεν
εαυτους αχρι γαρ και υμων εφθασαμεν εν τω ευαγγελιω
του χριστου
15 ουκ εις τα αμετρα καυχωμενοι εν αλλοτριοις κοποις
ελπιδα δε εχοντες αυξανομενης της πιστεως υμων εν
υμιν μεγαλυνθηναι κατα τον κανονα ημων εις περισσειαν
16 εις τα υπερεκεινα υμων ευαγγελισασθαι ουκ εν
αλλοτριω κανονι εις τα ετοιμα καυχησασθαι
17 ο δε καυχωμενος εν κυριω καυχασθω
18 ου γαρ ο εαυτον συνιστων εκεινος εστιν δοκιμος αλλ
ον ο κυριος συνιστησιν

# 11

1 οφελον ανειχεσθε μου μικρον τη αφροσυνη αλλα και
ανεχεσθε μου
2 ζηλω γαρ υμας θεου ζηλω ηρμοσαμην γαρ υμας ενι
ανδρι παρθενον αγνην παραστησαι τω χριστω
3 φοβουμαι δε μηπως ως ο οφις ευαν εξηπατησεν εν τη
πανουργια αυτου ουτως φθαρη τα νοηματα υμων απο της
απλοτητος της εις τον χριστον
4 ει μεν γαρ ο ερχομενος αλλον ιησουν κηρυσσει ον ουκ
εκηρυξαμεν η πνευμα ετερον λαμβανετε ο ουκ ελαβετε η
ευαγγελιον ετερον ο ουκ εδεξασθε καλως ηνειχεσθε
5 λογιζομαι γαρ μηδεν υστερηκεναι των υπερ λιαν
αποστολων
6 ει δε και ιδιωτης τω λογω αλλ ου τη γνωσει αλλ εν
παντι φανερωθεντες εν πασιν εις υμας
7 η αμαρτιαν εποιησα εμαυτον ταπεινων ινα
υμεις υψωθητε οτι δωρεαν το του θεου ευαγγελιον
ευηγγελισαμην υμιν
8 αλλας εκκλησιας εσυλησα λαβων οψωνιον προς την
υμων διακονιαν

9 και παρων προσ υμασ και υστερηθεισ ου κατεναρκησα
ουδενοσ το γαρ υστερημα μου προσανεπληρωσαν οι
αδελφοι ελθοντεσ απο μακεδονιασ και εν παντι αβαρη
υμιν εμαυτον ετηρησα και τηρησω
10 εστιν αληθεια χριστου εν εμοι οτι η καυχησισ αυτη
ου φραγησεται εισ εμε εν τοισ κλιμασιν τησ αχαιασ
11 δια τι οτι ουκ αγαπω υμασ ο θεοσ οιδεν
12 ο δε ποιω και ποιησω ινα εκκοψω την αφορμην των
θελοντων αφορμην ινα εν ω καυχωνται ευρεθωσιν καθωσ
και ημεισ
13 οι γαρ τοιουτοι ψευδαποστολοι εργαται δολιοι
μετασχηματιζομενοι εισ αποστολουσ χριστου
14 και ου θαυμαστον αυτοσ γαρ ο σαταναο
μετασχηματιζεται εισ αγγελον φωτοσ
15 ου μεγα ουν ει και οι διακονοι αυτου
μετασχηματιζονται ωσ διακονοι δικαιοσυνησ ων το
τελοσ εσται κατα τα εργα αυτων
16 παλιν λεγω μη τισ με δοξη αφρονα ειναι ει δε
μηγε καν ωσ αφρονα δεξασθε με ινα καγω μικρον τι
καυχησωμαι
17 ο λαλω ου λαλω κατα κυριον αλλ ωσ εν αφροσυνη
εν ταυτη τη υποστασει τησ καυχησεωσ
18 επει πολλοι καυχωνται κατα την σαρκα καγω
καυχησομαι
19 ηδεωσ γαρ ανεχεσθε των αφρονων φρονιμοι οντεσ
20 ανεχεσθε γαρ ει τισ υμασ καταδουλοι ει τισ κατεσθιει
ει τισ λαμβανει ει τισ επαιρεται ει τισ υμασ εισ προσωπον
δερει
21 κατα ατιμιαν λεγω ωσ οτι ημεισ ησθενησαμεν εν ω δ
αν τισ τολμα εν αφροσυνη λεγω τολμω καγω
22 εβραιοι εισιν καγω ισραηλιται εισιν καγω σπερμα
αβρααμ εισιν καγω
23 διακονοι χριστου εισιν παραφρονων λαλω υπερ εγω

εν κοποις περισσοτερως εν πληγαις υπερβαλλοντως εν
φυλακαις περισσοτερως εν θανατοις πολλακις
24 υπο ιουδαιων πεντακις τεσσαρακοντα παρα μιαν
ελαβον
25 τρις εραβδισθην απαξ ελιθασθην τρις εναυαγησα
νυχθημερον εν τω βυθω πεποιηκα
26 οδοιποριαις πολλακις κινδυνοις ποταμων κινδυνοις
ληστων κινδυνοις εκ γενους κινδυνοις εξ εθνων
κινδυνοις εν πολει κινδυνοις εν ερημια κινδυνοις εν
θαλασση κινδυνοις εν ψευδαδελφοις
27 εν κοπω και μοχθω εν αγρυπνιαις πολλακις εν λιμω
και διψει εν νηστειαις πολλακις εν ψυχει και γυμνοτητι
28 χωρις των παρεκτος η επισυστασις μου η καθ ημεραν
η μεριμνα πασων των εκκλησιων
29 τις ασθενει και ουκ ασθενω τις σκανδαλιζεται και
ουκ εγω πυρουμαι
30 ει καυχασθαι δει τα της ασθενειας μου καυχησομαι
31 ο θεος και πατηρ του κυριου ιησου χριστου οιδεν ο
ων ευλογητος εις τους αιωνας οτι ου ψευδομαι
32 εν δαμασκω ο εθναρχης αρετα του βασιλεως
εφρουρει την δαμασκηνων πολιν πιασαι με θελων
33 και δια θυριδος εν σαργανη εχαλασθην δια του
τειχους και εξεφυγον τας χειρας αυτου

# 12

1 καυχασθαι δη ου συμφερει μοι ελευσομαι γαρ εις
οπτασιας και αποκαλυψεις κυριου
2 οιδα ανθρωπον εν χριστω προ ετων δεκατεσσαρων
ειτε εν σωματι ουκ οιδα ειτε εκτος του σωματος ουκ οιδα
ο θεος οιδεν αρπαγεντα τον τοιουτον εως τριτου ουρανου
3 και οιδα τον τοιουτον ανθρωπον ειτε εν σωματι ειτε
εκτος του σωματος ουκ οιδα ο θεος οιδεν

4 οτι ηρπαγη εισ τον παραδεισον και ηκουσεν αρρητα
ρηματα α ουκ εξον ανθρωπω λαλησαι
5 υπερ του τοιουτου καυχησομαι υπερ δε εμαυτου ου
καυχησομαι ει μη εν ταισ ασθενειαισ μου
6 εαν γαρ θελησω καυχησασθαι ουκ εσομαι αφρων
αληθειαν γαρ ερω φειδομαι δε μη τισ εισ εμε λογισηται
υπερ ο βλεπει με η ακουει τι εξ εμου
7 και τη υπερβολη των αποκαλυψεων ινα μη
υπεραιρωμαι εδοθη μοι σκολοψ τη σαρκι αγγελοσ σαταν
ινα με κολαφιζη ινα μη υπεραιρωμαι
8 υπερ τουτου τρισ τον κυριον παρεκαλεσα ινα αποστη
απ εμου
9 και ειρηκεν μοι αρκει σοι η χαρισ μου η γαρ
δυναμισ μου εν ασθενεια τελειουται ηδιστα ουν μαλλον
καυχησομαι εν ταισ ασθενειαισ μου ινα επισκηνωση επ
εμε η δυναμισ του χριστου
10 διο ευδοκω εν ασθενειαισ εν υβρεσιν εν αναγκαισ εν
διωγμοισ εν στενοχωριαισ υπερ χριστου οταν γαρ ασθενω
τοτε δυνατοσ ειμι
11 γεγονα αφρων καυχωμενοσ υμεισ με ηναγκασατε
εγω γαρ ωφειλον υφ υμων συνιστασθαι ουδεν γαρ
υστερησα των υπερ λιαν αποστολων ει και ουδεν ειμι
12 τα μεν σημεια του αποστολου κατειργασθη εν υμιν εν
παση υπομονη εν σημειοισ και τερασιν και δυναμεσιν
13 τι γαρ εστιν ο ηττηθητε υπερ τασ λοιπασ εκκλησιασ
ει μη οτι αυτοσ εγω ου κατεναρκησα υμων χαρισασθε μοι
την αδικιαν ταυτην
14 ιδου τριτον ετοιμωσ εχω ελθειν προσ υμασ και ου
καταναρκησω υμων ου γαρ ζητω τα υμων αλλα υμασ ου
γαρ οφειλει τα τεκνα τοισ γονευσιν θησαυριζειν αλλ οι
γονεισ τοισ τεκνοισ
15 εγω δε ηδιστα δαπανησω και εκδαπανηθησομαι υπερ
των ψυχων υμων ει και περισσοτερωσ υμασ αγαπων ηττον

αγαπωμαι
16 εστω δε εγω ου κατεβαρησα υμας αλλ υπαρχων
πανουργος δολω υμας ελαβον
17 μη τινα ων απεσταλκα προς υμας δι αυτου
επλεονεκτησα υμας
18 παρεκαλεσα τιτον και συναπεστειλα τον αδελφον
μητι επλεονεκτησεν υμας τιτος ου τω αυτω πνευματι
περιεπατησαμεν ου τοις αυτοις ιχνεσιν
19 παλιν δοκειτε οτι υμιν απολογουμεθα κατενωπιον
του θεου εν χριστω λαλουμεν τα δε παντα αγαπητοι υπερ
της υμων οικοδομης
20 φοβουμαι γαρ μηπως ελθων ουχ οιους θελω ευρω
υμας καγω ευρεθω υμιν οιον ου θελετε μηπως ερεις
ζηλοι θυμοι εριθειαι καταλαλιαι ψιθυρισμοι φυσιωσεις
ακαταστασιαι
21 μη παλιν ελθοντα με ταπεινωσει ο θεος μου προς
υμας και πενθησω πολλους των προημαρτηκοτων και
μη μετανοησαντων επι τη ακαθαρσια και πορνεια και
ασελγεια η επραξαν

# 13

1 τριτον τουτο ερχομαι προς υμας επι στοματος δυο
μαρτυρων και τριων σταθησεται παν ρημα
2 προειρηκα και προλεγω ως παρων το δευτερον και
απων νυν γραφω τοις προημαρτηκοσιν και τοις λοιποις
πασιν οτι εαν ελθω εις το παλιν ου φεισομαι
3 επει δοκιμην ζητειτε του εν εμοι λαλουντος χριστου
ος εις υμας ουκ ασθενει αλλα δυνατει εν υμιν
4 και γαρ ει εσταυρωθη εξ ασθενειας αλλα ζη εκ
δυναμεως θεου και γαρ ημεις ασθενουμεν εν αυτω αλλα
ζησομεθα συν αυτω εκ δυναμεως θεου εις υμας

5 εαυτουσ πειραζετε ει εστε εν τη πιστει εαυτουσ
δοκιμαζετε η ουκ επιγινωσκετε εαυτουσ οτι ιησουσ
χριστοσ εν υμιν εστιν ει μητι αδοκιμοι εστε
6 ελπιζω δε οτι γνωσεσθε οτι ημεισ ουκ εσμεν αδοκιμοι
7 ευχομαι δε προσ τον θεον μη ποιησαι υμασ κακον
μηδεν ουχ ινα ημεισ δοκιμοι φανωμεν αλλ ινα υμεισ το
καλον ποιητε ημεισ δε ωσ αδοκιμοι ωμεν
8 ου γαρ δυναμεθα τι κατα τησ αληθειασ αλλ υπερ τησ
αληθειασ
9 χαιρομεν γαρ οταν ημεισ ασθενωμεν υμεισ δε δυνατοι
ητε τουτο δε και ευχομεθα την υμων καταρτισιν
10 δια τουτο ταυτα απων γραφω ινα παρων μη
αποτομωσ χρησωμαι κατα την εξουσιαν ην εδωκεν μοι ο
κυριοσ εισ οικοδομην και ουκ εισ καθαιρεσιν
11 λοιπον αδελφοι χαιρετε καταρτιζεσθε παρακαλεισθε
το αυτο φρονειτε ειρηνευετε και ο θεοσ τησ αγαπησ και
ειρηνησ εσται μεθ υμων
12 ασπασασθε αλληλουσ εν αγιω φιληματι
13 ασπαζονται υμασ οι αγιοι παντεσ
14 η χαρισ του κυριου ιησου χριστου και η αγαπη του
θεου και η κοινωνια του αγιου πνευματοσ μετα παντων
υμων αμην

# Η Καινή Διαθήκη
# The Greek New Testament according to the Byzantine Text form. Robinson-Pierpont 2018 edition

Public Domain

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

Translation by: Maurice A. Robinson and William G. Pierpont

This public domain Bible translation is brought to you courtesy of eBible.org. If you would like to make a donation to help keep free Bible access like this going, please visit https://eBible.org/give.php.

2024-01-09

---

PDF generated using Haiola and XeLaTeX on 18 Apr 2025 from source files dated 13 Jan 2024
b320f4f6-a7ea-551a-b958-9885c39d847e